Μέλας κόλπος. Ζέφυρος. βορέας.

218

" . . . . . κἀνταῦθα δ' ἐπιόντες ἐκ τοῦ ποιητοῦ" Στραβ. Α. 28.
"βορέης καὶ ζέφυρος, τώ τε Θρῄκηθεν ἄητον"
οὐκ εὖ δεξάμενος ὁ αὐτὸς (Ἐρατοσθένης) συκοφαντεῖ ὡς καθόλου λέγοντος, ὅτι ὁ ζέφυρος ἐκ Θράκης πνεῖ, ἐκείνου λέγοντος οὐ καθόλου, ἀλλ' ὅταν κατὰ τὴν Θρᾳκίαν θάλατταν συμπέσωσι περὶ τὸν Μέλανα κόλπον αὐτοῦ τοῦ Αἰγαίου μέρος ὄντα. ἐπιστροφὴν γὰρ λαμβάνει πρὸς νότον ἀκρωτηριάζουσα ἡ Θρᾴκη καθ' ἣ συνάπτει τῇ Μακεδονίᾳ καὶ προπίπτουσα εἰς τὸ πέλαγος τοὺς ζεφύρους ἐντεῦθεν πνέοντας ἀποφαίνει τοῖς ἐν Θάσῳ καὶ Λήμνῳ καὶ Ἴμβρῳ καὶ Σαμοθρᾴκῃ καὶ τῇ περὶ αὐτὰς θαλάττῃ, καθάπερ καὶ τῇ Ἀττικῇ ἀπὸ τῶν Σκειρωνίδων πετρῶν, ἀφ' ὧν καὶ Σκείρωνες καλοῦνται οἱ ζέφυροι καὶ μάλιστα οἱ ἀργέσται."

×

"ἔχει γάρ τοι (ἡ Πελοπόννησος) πολυαχίδας· καὶ γὰρ τὸ Σούνιον ἀκρωτηριάζει ὁμοίως τῇ Λακωνικῇ, ὀλίγῳ ἧττον μεσημβρινώτερον ὂν τῶν Μαλεῶν καὶ κόλπον ἀπολαμβάνον ἀξιόλογον. καὶ ἡ Θρᾳκία Χερρόνησος ἀπολαμβάνει πρὸς τὸ Σούνιον τόν τε Μέλανα κόλπον καὶ τοὺς ἐφεξῆς τοὺς Μακεδονικούς." Β. 92.

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

# Μέλας κόλπος.

419

Στραβ. Β. 124. «ἐν τούτῳ δὲ (τῷ Μυρτῴῳ) νῆσοι Κύθηρά τε καὶ Καλαύρια καὶ αἱ περὶ Αἴγιναν καὶ Σαλαμῖνα καὶ τῶν Κυκλάδων τινες. τὸ δὲ συνεχὲς τὸ Αἰγαῖον ἐστὶν ἤδη σὺν τῷ Μέλανι κόλπῳ καὶ τῷ Ἑλλησπόντῳ καὶ τὸ Ἰκάριον καὶ Καρπάθιον...»

„ Ζ. 323. «Τὰ δὲ πέραν τοῦ Στρυμόνος ἤδη μέχρι τοῦ Ποντικοῦ στόματος καὶ τοῦ Αἵμου πάντα Θρᾳκῶν ἐστι πλὴν τῆς παραλίας· αὕτη δ' ὑφ' Ἑλλήνων οἰκεῖται, τῶν μὲν ἐπὶ τῇ Προποντίδι ἱδρυμένων, τῶν δ' ἐφ' Ἑλλησπόντῳ καὶ τῷ Μέλανι κόλπῳ, τῶν δ' ἐπὶ τῷ Αἰγαίῳ.»

„ 331. 58. «ὅτι Ἑλλήσποντος οὐχ ὁμολογεῖται παρὰ πᾶσιν ὁ αὐτός, ἀλλὰ δόξαι περὶ αὐτοῦ λέγονται πλείους. οἱ μὲν γὰρ ὅλην τὴν Προποντίδα καλοῦσιν Ἑλλήσποντον, οἱ δὲ μέρος τῆς Προποντίδος τὸ ἐντὸς Περίνθου· οἱ δὲ προσλαμβάνουσι καὶ τῆς ἔξω θαλάσσης τῆς κατὰ τὸ Αἰγαῖον πέλαγος καὶ τὸν Μέλανα κόλπον ἀνεῳγμένης καὶ οὗτοι ἄλλος ἄλλα ἀποτεμνόμενος.»

420

Μέλας κόλπος.

εν δε τη Προποντίδι παραλίη, μετα δε Καρδίαν Δράβος και Λίμναι και Αλωπεκόννησος, εφ' η τελευτα μάλιστα ο Μέλας κόλπος· είθ' η μεγάλη Μαζουσία· είτ' εν κόλπω Ελαιούς. . . . . Στράβων Ζ. σελ. 470.

53. ότι η εν Θράκη Χερρόνησος ποιεί τρεις θαλάσσας· Προποντίδα εκ βορρά, Ελλήσποντον εξ ανατολών, και τον Μέλανα κόλπον εκ νότου, όπου και ο Μέλας ποταμός εκβάλλει, ομωνύμως τω κόλπω. Epit ,,

54 ότι εν τω ισθμώ της Χερρονήσου τρεις πόλεις ήσαν· προς μεν τω Μέλανι κόλπω Καρδία, προς δε τη Προποντίδι Πακτύη, προς δε τη μεσογαία Λυσιμάχεια. έχει δε ο ισθμός στάδια τεσσαράκοντα. Epit. ,, ,,

οι μεν γαρ όλην την Προποντίδα καλούσιν Ελλήσποντον, οι δε μέρος της Προποντίδος το εντός Περίνθου· οι δε προσλαμβάνουσι και της έξω θαλάσσης της προς το Αιγαίον πέλαγος και τον Μέλανα κόλ- ,, 472.

421

# Μέγας κόλπος

και ανεμοκλόνης και ήδη άλλα άλλα αποθέ-
μενος. . . .

Αυτόθι όρα Θράκη εν παρόντι συλλογή
Ρωμ. Ιστορίαι και LXXXIX.
Δ'. LXXXVIII

ει. λη 82. . . . Δύο δ' ημέρας τον Μέγαν κόλπον περιεπλεύσαν-
τες, εις Αίνον αφίκοντο, και από Αίνου Δορίσκον τε και
όσα άλλα μέχρι Σερρείου όρους παράλια (Κάστορ
και Βρύζαι).
όρα και Θράκη εν παρόντι συλλογή

422

Θρακία Χερρόνησος - Μέλας κόλπος
Κριθώτη.

από Καρδίας· γ οι μεν δ' επι θάτερον μέρος το ισθμού κει- — Στρ. Ζ. 331
μενα το διατειχίσματος τάδε πρώτα περιεχόμενα. Ε. — 52.
ότι η εν Θράκη Χερρόνησος τρεις ποιεί θαλάσσας· Προ- — 53.
ποντίδα εκ βορρά, Ελλήσποντον εξ ανατολών, γ τον Μέ-
λανα κόλπον εκ νότου, εις ον γ ο Μέλας ποταμός εκ-
βάλλει, ομώνυμος τω κόλπω. Epit.
54. ότι εν τω ισθμώ της Χερρονήσου τρεις πόλεις κει-
νται· προς μεν τω Μέλανι κόλπω Καρδία, προς δε τη
Προποντίδι Λυσιμάχεια· μήκος δε ισθμού στάδια τετταρά-
κοντα. Epit.

ι. Μεταξύ δε Λευκάδος γ το Αμβρακικού κόλπου λι- — ι Σ. 451
μνοθάλαττα εστι Μυρτύντιον λεγομένη, από δε Λευκάδει
εξής Πάλαιρος, Αλυζία της Ακαρνανίας . . . .
. . . ων άκρα Κριθώτη και [αι] Εχινάδες, γ πόλις
Αστακός ομώνυμος τη περί Νικομήδειαν και η Κρι-
θώτη δ' ομώνυμος πολίχνη τινί εν τη Θρακία Χερρονή-
σω).

423

# Μέλας κόλπος.

Στραβ. Β 124 «ἐν δὲ τῷ (τῷ Μυρτῴῳ) νῆσοι Κύθηρά τε καὶ Καλαύρια καὶ αἱ περὶ Αἴγιναν καὶ Σαλαμῖνα καὶ τῶν Κυκλάδων τινές. τὸ δὲ συνεχὲς τὸ Αἰγαῖον ἐστιν ἤδη σὺν τῷ Μέλανι κόλπῳ καὶ τῷ Ἑλλησπόντῳ καὶ τὸ Ἰκάριον καὶ Καρπάθιον...»

„ Ζ. 323. «Τὰ δὲ πέραν τοῦ ἀθροιζομένου ἤδη μέχρι τοῦ Ποντικοῦ στόματος καὶ τοῦ Αἵμου πάντα Θρᾴκιον ἐστι πλὴν τῆς παραλίας· αὕτη δ' ὑφ' Ἑλλήνων οἰκεῖται, τῶν μὲν ἐπὶ τῇ Προποντίδι ἱδρυμένων, τῶν δ' ἐπὶ τῷ Ἑλλησπόντῳ καὶ τῷ Μέλανι κόλπῳ, τῶν δ' ἐπὶ τῷ Αἰγαίῳ.»

„ 331. 58 «Ὅτι Ἑλλήσποντος οὐχ ὁμολογεῖται παρὰ πᾶσιν ὁ αὐτός, ἀλλὰ δόξαι περὶ αὐτοῦ λέγονται πλείους. οἱ μὲν γὰρ ὅλην τὴν Προποντίδα καλοῦσιν Ἑλλήσποντον, οἱ δὲ μέρος τῆς Προποντίδος τὸ ἐντὸς Περίνθου· οἱ δὲ προσλαμβάνουσι καὶ τῆς ἔξω θαλάττης τῆς πρὸς τὸ Αἰγαῖον πέλαγος καὶ τὸν Μέλανα κόλπον ἀνεῳγμένης, καὶ οὗτοι ἄλλος ἄλλα ἀποτεμνόμενοι.»

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

## Μέλας κόλπος. Μέλας ποταμός.

424

« Αἶνος πόλις καὶ λιμὴν, τείχη Αἰνίων ἐν τῇ Θρᾴκῃ, Μέλας κόλπος, Μέλας ποταμὸς, Δέρις ἐμπόριον, Κῶβρυς ἐμπόριον Καρδιανῶν... » Σκύλακος Περίπλ.

« Τὸ Μυρτῶον πέλαγος, μεταξὺ φασὶ Κρήτης τε καὶ Ἀττικῆς καὶ τῆς Ἀργείας - - - - - - Στράβων Β.

- - - - - - τῷ δὲ, συνεχές ἐστι, φάσι, Αἰγαῖον σὺν τῷ Μέλανι κόλπῳ καὶ Ἑλλησπόντῳ... »

536 Κεῖθεν δ' Αἰολίδων ἀναπτύσσονται ἔρεα νήσων, Διονυσίου

Λέσβος θ' εὐρυχόροιο, καὶ ἠθέης Τενέδοιο. Οἰκουμένης

Κεῖθι (1) Μέλας καὶ κόλπος ἐφ' Ἑλλήσποντον ἵησιν, Περιήγησις

ἄφρον ἐρευγόμενος· Βορέην δ' εἰς ἐγγὺς ἰόντι, Τ. Β. σ. 149.

κέκλυται ἔνθα καὶ ἔνθα Προποντίδος εὖρεα θαλάσσης.

---

(1) Ὅτι εὐθὺς περὶ τὴν Τένεδον ὁ Μέλας κόλπος ἐφ' Ἑλλήσποντον ἵησιν, ἄφρον ἐρευγόμενος· τὴν κλῆσιν ἔχων ἀπὸ ποταμοῦ μέλανος τοῦ καὶ ἄνω ῥηθέντος, ἐκδιδόντος εἰς αὐτὸν ἢ καὶ διὰ τὸ τε βάθος πολύ· συνάπτει γὰρ τῷ Αἰγαίῳ· ὃν βαθὺν πόρον ῥόθιος ἔφη ὁ Διονύσιος. κόλπος δὲ Μέλας ἐστὶν ὡς οἱ ἀκριβέστεροι λέγουσιν, ὡς φαίνεται καὶ ὁ Διονύσιος παρακολουθῶν) περὶ ὃν καὶ ἡ Αἶνος κεῖται πόλις Αἰολική· φασὶ γὰρ, ὅτι ἐν τῷ Μέλανι κόλπῳ ἡ Αἶνος ὥρας τῇ ἐκβολῇ τοῦ Ἕβρου· οἱ δὲ περὶ

Μέγας κόλπος. Μέγας ποταμός. 

Κόλπον η Προικόννησον τον Μέγαν κόλπον λέγε-
ναι, δοκοῦσιν αμφότεροι κακῶν· ἴσως ἄρα ἐκ τινος χω-
ρίς βοηθεῖται, ἀφεὶς ἐν τοῖς τε ὄστρακοις διακειμένοις,
όσα περὶ της των Σημαιῶν ἄλλας κώμας φησί. και Η-
ρόδοτος δέ φησι, Μέγας ποταμός, εἶτε ο κόλπος ο προς
τη Αίνῳ· λέγεται δε ούτος και εξαρκέσαι τω Περσικώ
στρατώ, ότε ο Ξέρξης την Ευρώπην διέβη, αλλα
επιλιπεῖν πινόμενος. ούτω δε και ο Σκάμανδρος ουκ αντέ-
σχε το ύδωρ, και ο Λίσσος δε ποταμός βραχύμενος ουκ α-
ντέχρησεν, αλλα προσέδωκε το ρέεθρον, ως φησιν αλλ-
ιως Ηρόδοτος. "

113. ώ τοις σημειώσεσι ουκ ... δε ... και Μέγας ποτα-
μος κρίνεται ... (ο εν Αρκαδία) αλλα και Αρ α-
κεως. "

Μέλας κόλπος, ποταμός

Σαμοθράκη και τη περί αυτάς θαλάττη."
άρα η Θράκη εν τοις από Στράβωνος αποσπάσμασι.

Στρ. Β' Το δε συνεχές (πέλαγος) το Αιγαίον εστίν ήδη
Σελ 166. συν τω Μέλανι κόλπω και τω Ελλησπόντω.

Ζ. Σελ 469 52. Προς δε τη εκβολή του Έβρου δίστομος ούσης πόλις Αίνος
; εν τω Μέλανι κόλπω (;) κείται, ... . . . .
είθ' άκρα Σαρπηδών, είθ' η Χερρόνησος η Θρακία
καλουμένη, ποιούσα τήν τε Προποντίδα και τον Μέλανα
κόλπον και τον Ελλήσποντον. άκρα γαρ έκκειται προς
ευρόνοτον, συνάπτουσα την Ευρώπην προς την Ασί-
αν επταστάδιω πορθμώ τω κατά Άβυδον και Σηστόν,
εν αριστερά μεν την Προποντίδα έχουσα, εν δε-
ξιά δε τον Μέλανα κόλπον καλούμενον ούτως από το
Μέλανος εκδιδόντος εις αυτόν, καθάπερ Ηρόδοτος
και Εύδοξος. . . .
470 εκατέρωθεν δ' εστί μεν τω Μέλανι κόλπω Καρδία
κείται μεγίστη των εν τη Χερρονήσω πόλεων, Μιλησί-
ων και Κλαζομενίων κτίσμα, ύστερον δε και Αθηναίων.

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ